# ΕΙΡΗΝΑΙΟΣ

# ΠΡΟΣ ΦΛΩΡΙΝΟΝ

Ταῦτα τὰ δόγματα Φλωρῖνε ἵνα πεφεισμένως εἴπω οὐκ ἔστιν ὑγιοῦς γνώμης· ταῦτα τὰ δόγματα ἀσύμφωνά ἐστιν τῇ ἐκκλησίᾳ εἰς τὴν μεγίστην ἀσέβειαν περιβάλλοντα τοὺς πειθομένους αὐτοῖς· ταῦτα τὰ δόγματα οὐδὲ οἱ ἔξω τῆς ἐκκλησίας αἱρετικοὶ ἐτόλμησαν ἀποφήνασθαί ποτε· ταῦτα τὰ δόγματα οἱ πρὸ ἡμῶν πρεσβύτεροι οἱ καὶ τοῖς ἀποστόλοις συμφοιτήσαντες οὐ παρέδωκάν σοι. εἶδον γάρ σε παῖς ἔτι ὢν ἐν τῇ κάτω Ἀσίᾳ παρὰ Πολυκάρπῳ λαμπρῶς πράσσοντα ἐν τῇ βασιλικῇ αὐλῇ καὶ πειρώμενον εὐδοκιμεῖν παρ᾿ αὐτῷ. μᾶλλον γὰρ τὰ τότε διαμνημονεύω τῶν ἔναγχος γινομένων αἱ γὰρ ἐκ παίδων μαθήσεις συναυξουσαι τῇ ψυχῇ ἑνοῦνται αὐτῇ ὥστε με δύνασθαι εἰπεῖν καὶ τὸν τόπον ἐν ᾧ καθεζόμενος διελέγετο ὁ μακάριος Πολύκαρπος καὶ τὰς προόδους αὐτοῦ καὶ τὰς εἰσόδους καὶ τὸν χαρακτῆρα τοῦ βίου καὶ τὴν τοῦ σώματος ἰδέαν καὶ τὰς διαλέξεις ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος καὶ τὴν μετὰ Ἰωάννου συναναστροφὴν ὡς ἀπήγγελλεν καὶ τὴν μετὰ τῶν λοιπῶν τῶν ἑορακότων τὸν κύριον καὶ ὡς ἀπεμνημόνευεν τοὺς λόγους αὐτῶν καὶ περὶ τοῦ κυρίου τίνα ἦν ἃ παρ᾿ ἐκαίνων ἀκηκόει καὶ περὶ τῶν δυνάμεων αὐτοῦ καὶ περὶ τῆς διδασκαλίας ὡς παρὰ τῶν αὐτοπτῶν τῆς ζωῆς τοῦ λόγου παρειληφὼς ὁ Πολύκαρπος ἀπήγγελλεν πάντα σύμφωνα ταῖς γραφαῖς. ταῦτα καὶ τότε διὰ τὸ ἔλεος τοῦ θεοῦ τὸ ἐπ᾿ ἐμοὶ γεγονὸς σπουδαίως ἤκουον ὑπομνηματιζόμενος αὐτὰ οὐκ ἐν χάρτῃ ἀλλ᾿ ἐν τῇ ἐμῇ καρδίᾳ· καὶ ἀεὶ διὰ τὴν χάριν τοῦ θεοῦ γνησίως αὐτὰ ἀναμαρυκῶμαι καὶ δύναμαι διαμαρτύρασθαι ἔμπρασθεν τοῦ θεοῦ ὅτι εἴ τι τοιοῦτον ἀκηκόει ἐκεῖνος ὁ μακάριος καὶ ἀποστολικὸς πρεσβύτερος ἀνακράξας ἂν καὶ ἐμφράξας τὰ ὦτα αὐτοῦ καὶ κατὰ τὸ σύνηθες αὐτῷ εἰπών· ὦ καλὲ θεέ, εἰς οἵους με καιροὺς τετήρηκας ἵνα τούτων ἀνέχωμαι, πεφεύγει ἂν καὶ τὸν τὸπον ἐν ᾧ καθεζόμενος ἢ ἑστὼς τῶν τοιούτων ἀκηκόει λόγων. καὶ ἐκ τῶν ἐπιστολῶν δὲ αὐτοῦ ὧν ἐπέστειλεν ἤτοι ταῖς γειτνιώσαις ἐκκλησίαις, ἐπιστηρίζων αὐτάς, ἢ τῶν ἀδελφῶν τισί, νουθετῶν αὐτοὺς καὶ προτρεπόμενος, δύναται φανερωθῆναι.

*Eusebius*. Historia ecclesiastica.V.20:4-8

# ИРИНЕЙ

# К ФЛОРИНУ

Такие догматы, Флорин, говоря кратко, не принадлежат здравой мысли. Такие догматы противоречат экклесии, они ввергают в величайшее нечестие тех, кто их принял. Такие догматы даже еретики, (стоящие) вне экклесии, никогда не осмеливались провозглашать. Таких догматов предшествовавшие нам пресвитеры, сопровождавшие апостолов, не передавали тебе. Ибо я еще мальчиком видел тебя в Нижней Асии у Поликарпа: ты блистал при царском дворе и старался снискать благоволения его (Поликарпа). Ибо тогдашнее я помню лучше недавнего (ибо в детстве узнанное укрепляется душою и срастается с нею). Так, я мог бы показать место, где сидел и разговаривал блаженный Поликарп, могу изобразить его походку, и характер жизни, и внешний вид, его беседы с народом, как он рассказывал о своих встречах с Иоанном и с другими самовидцами Господа, как припоминал он слова их, что он слышал от них о Господе, о чудесах Его и учении. Как Поликарп принял все от самовидцев Слова жизни, то возвещал он согласно с Писанием. По милости Божией ко мне, я тогда внимательно это слушал и записывал не на бумаге, а в сердце. И по благодати Божией, я все время как следует пережевываю и могу перед Богом засвидетельствовать, что, если бы этот блаженный и апостольский пресвитер услышал что-либо подобное, он возопил бы, заткнул уши и по обычаю своему воскликнул: “О, благий Боже! на какое время сохранил Ты меня, чтобы такое мне выносить!” Он убежал бы с того места, где сидел или стоял, услышав такие слова. И из посланий его, которые он посылал или соседним экклесиям, дабы подкрепить их, или кому из братьев, дабы наставить и уговорить его, это совершенно ясно.

*Евсевий Кесарийский*. Церковная история.V.20:4-8

Перевод с греческого — Руслан Хазарзар